# EUCLIDES

Atheniensis?
s. v vel prius

Arist. *Poet.* 22 p. 1458b5 ὥστε οὐκ ὀρθῶς ψέγουσιν οἱ ἐπιτιμῶντες τῷ τοιούτῳ τρόπῳ τῆς διαλέκτου καὶ διακωμῳδοῦντες τὸν ποιητήν, οἷον Εὐκλείδης ὁ ἀρχαῖος, ὡς ῥᾴδιον ὂν ποιεῖν εἴ τις δώσει ἐκτείνειν ἐφ' ὁπόσον βούλεται, ἰαμβοποιήσας ἐν αὐτῇ τῇ λέξει·

1 Ἐπιχάρην εἶδον Μαραθωνάδε βαδίζοντα,

καὶ

2 οὐκ ἄν γ' ἀράμενος τὸν ἐκείνου ἐλλέβορον.

# EUENUS

Parius
ante 470(?)-post 399

1-8c. ELEGI

1 Ath. 367e

πολλοῖς δ' ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός·
"σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε."
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥήιστης εἰσὶ διδασκαλίης.

1-4 Stob. 2. 2. 10; 4 Ath. 429f.